## 2 Thess 1:3-12 Diagram

(1) 1.3 *Εὐχαριστεῖν ὀφείλομεν τῷ θεῷ*
πάντοτε
περὶ ὑμῶν,
ἀδελφοί,
καθὼς ἄξιόν ἐστιν,
ὅτι ὑπεραυξάνει ἡ πίστις ὑμῶν
καὶ
πλεονάζει ἡ ἀγάπη ἑνὸς ἑκάστου πάντων ὑμῶν
εἰς ἀλλήλους,
ἐν ὑμῖν
1.4 ὥστε αὐτοὺς ἡμᾶς...ἐγκαυχᾶσθαι
ἐν ταῖς ἐκκλησίαις
τοῦ θεοῦ
ὑπὲρ τῆς ὑπομονῆς ὑμῶν
καὶ
πίστεως
ἐν πᾶσιν τοῖς διωγμοῖς ὑμῶν
καὶ
ταῖς θλίψεσιν
αἷς ἀνέχεσθε,

1.5 ἔνδειγμα
τῆς δικαίας κρίσεως
τοῦ θεοῦ
εἰς τὸ καταξιωθῆναι ὑμᾶς
τῆς βασιλείας τοῦ θεοῦ,
ὑπὲρ ἧς καὶ πάσχετε,
1.6 εἴπερ δίκαιον...ἀνταποδοῦναι
παρὰ θεῷ
τοῖς θλίβουσιν ὑμᾶς θλῖψιν
1.7 καὶ
ὑμῖν τοῖς θλιβομένοις ἄνεσιν
μεθ᾽ ἡμῶν,
ἐν τῇ ἀποκαλύψει τοῦ κυρίου Ἰησοῦ
ἀπ᾽ οὐρανοῦ
μετ᾽ ἀγγέλων δυνάμεως αὐτοῦ
1.8 ἐν πυρὶ φλογός,
διδόντος ἐκδίκησιν τοῖς μὴ εἰδόσιν θεὸν
καὶ

τοῖς μὴ ὑπακούουσιν τῷ εὐαγγελίῳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ,
1.9 οἵτινες δίκην τίσουσιν ὄλεθρον αἰώνιον
ἀπὸ προσώπου τοῦ κυρίου
καὶ
ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ,

/-----------------------------------|
1.10 ὅταν ἔλθῃ
ἐνδοξασθῆναι
ἐν τοῖς ἁγίοις αὐτοῦ
καὶ
θαυμασθῆναι
ἐν πᾶσιν τοῖς πιστεύσασιν,
ὅτι ἐπιστεύθη τὸ μαρτύριον ἡμῶν
ἐφ᾽ ὑμᾶς,
/------------------------------------------------------------------------------------------|
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

1.11 εἰς ὃ καὶ
(2) *προσευχόμεθα*
πάντοτε
περὶ ὑμῶν,
ἵνα ὑμᾶς ἀξιώσῃ τῆς κλήσεως ὁ θεὸς ἡμῶν
καὶ
πληρώσῃ πᾶσαν εὐδοκίαν ἀγαθωσύνης
καὶ
ἔργον πίστεως
ἐν δυνάμει,
1.12 ὅπως ἐνδοξασθῇ τὸ ὄνομα τοῦ κυρίου ἡμῶν Ἰησοῦ
ἐν ὑμῖν,
καὶ
--------- ὑμεῖς
ἐν αὐτῷ,
κατὰ τὴν χάριν τοῦ θεοῦ ἡμῶν
καὶ
κυρίου Ἰησοῦ Χριστοῦ.